UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Epiphanio Diacono. 66.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

vitam exhibent, Deum, quantum in ipsis situm est, dedecore atque ignominia afficiunt. Dum enim, & diuina iussa aspernantur, & alios adducunt, vt eum blasphemis verbis lacessant, quem etiam benedicere non cuiuslibet est, verùm hominum summa virtute præditorum, hinc scilicet spurios sese atque adulterinos esse cõuincũt.

*Zosimo Presbytero.* 65.

Clamores eos, qui ob vitam tuam ab omnibus excitantur, ferre nequeo. Aiunt enim, sermonem in te, tanquam in album dirigentes, Quonam pacto aliis sanctitatẽ impertis, prophanus ipse ac nefarius? Quonam pacto alios purgas, qui impurus es? Quonam pacto filios Dei efficis, qui seruili animo es? Purgari priùs debes, atque ita purgare: priùs à sacrilegij crimine purum esse, ac tum sacerdotis munus subire. Hæc audiens, animi cruciatu afficior, tum quia hæc de te loquuntur, tum quia eos, qui ad diuinam religionem accedunt, in mysticis symbolis detrimentum perpeti arbitrantur. Desine itaque, non modò tuam animam, sed etiam multas alias, pro quibus Christus mortem oppetiit, demergere. Cogita quónam hoc malum tendat, cùm eos, quos ipse non auro, sed pretioso suo cruo-
1. pet. 1. re donato redemit, tu per vitæ tuæ improbitatem perdis.

*Epiphanio Diacono.* 66.

Quoniam per literas ex me sciscitatus es, quidnam significet id quod Psalmo 73. scriptum est, Tu siccasti fluuios Ethã (quod quidem cùm in veteribus Psalteriis situm sit, in quibusdam recentioribus codicibus, fortasse vt quod intelligi minimè posset, haudquaquam inscriptum est, eóque etiã nomine nonnulli superuacanea quædam, & quæ demonstrari nequeant, sacris literis contineri asserunt) idcirco rescribendũ ad te duxi. Ethan igitur locus erat in Palæstina, fluuiis irriguus, atque arboribus & fructibus abundans, & ob ingentem animantium ac piscium copiam ad venandũ

βαίνουσαν τῇ πίστει τὴν πολιτείαν ἐπιδείκνυσθαι, τό γε ἧκον εἰς αὐτοὺς, τὸν θεὸν ἀτιμάζοντες. τῷ τε γὰρ διαπτύειν τὰ παρ' αὐτοῦ κελευσθέντα, τῷ τε ἑτέρους παρασκευάζειν βλασφημεῖν τοῦτον, ὃν καὶ εὐλογεῖν οὐ πάντων ἐστὶν, ἀλλὰ τῶν ἄκρων εἰς ἀρετὴν, τύπων, νόθους ἑαυτοὺς ἀπελέγχουσι. τύτῳ

Ζωσίμῳ πρεσβυτέρῳ. ξε.

Οὐ φέρω τὴν διὰ τὸν σὸν βίον γινομένην παρὰ πάντων καταβοήν. φασὶ γὰρ εἰς σὲ ὥσπερ ἐπὶ σκοπὸν τὸν λόγον τείνοντες, πῶς ἄλλους ἁγιάζεις ὁ ἐναγής; πῶς καθαίρεις ὁ ἀκάθαρτος; πῶς υἱοὺς θεοῦ κατασκευάζεις ὁ δουλοπρεπής. καθαρθῆναι ὀφείλεις, καὶ οὕτω καθᾶραι. μὴ ἱεροσυλεῖν, καὶ τότε ἱερᾶσθαι. ταῦτ' ἀκούων, ἀλγῶ τὴν ψυχὴν, ὅτι τε ταῦτα περὶ σοῦ φράζουσι, καὶ ὅτι καὶ εἰς τὰ μυστικὰ σύμβολα παραβλάπτεσθαι τοὺς προσιόντας τῇ θείᾳ θρησκείᾳ νομίζουσι. στῆθι τοίνυν καταποντίζων μὴ μόνον τὴν σαυτοῦ ψυχὴν, ἀλλὰ καὶ ἄλλας πολλὰς, ὑπὲρ ὧν ὁ Χριστὸς ἀπέθανεν. ἐννόησον γὰρ οἷ τείνει τὸ κακὸν, ὅταν οὓς αὐτὸς ἐξηγόρασεν οὐ χρυσίον, ἀλλὰ τὸ τίμιον ἑαυτοῦ αἷμα δεδωκὼς, σὺ διὰ τὸν σαυτοῦ βίον ἀπολέσῃς.

Ἐπιφανίῳ διακόνῳ. ξϛ.

Ἐπειδὴ γέγραφας τί ἐστι τὸ ἐν τῷ ογ' ψαλμῷ γεγραμμένον, σὺ ἐξήρανας ποταμοὺς ἠθάμ. ὅπερ ἐν τοῖς παλαιοῖς ψαλτηρίοις κείμενον, ἔν τισι τῶν νέων ὡς ἀπερινόητον ἴσως οὐκ ἐνεγράφη. διὸ καί τινες νομίζουσι περιττά τινα καὶ ἀναπόδεικτα ἐν ταῖς γραφαῖς γεγράφθαι, ἀντεπιστεῖλαι δίκαιον ᾠήθην. χῶρος ἦν ἐν τῇ Παλαιστίνῃ ποταμοῖς κατάρρυτος, καὶ δένδροις καὶ καρποῖς κατάκομος, ζώων τε πλήθει καὶ ἰχθύων εὔθηρος. ἐπεὶ τοίνυν τὸ θεῖον νεῦμα εὔυδρον καὶ εὔενδρον καὶ εὔθηρον αὐτὸν ὄντα, εὐθήρατον
δι' ἐπιπολάζουσαν τῶν οἰκητόρων ἀσέβειαν

ἀσέβειαν ἐξήρανε. καὶ τοῦτο μετὰ τῶν ἄλλων θαυμάτων ἀνακηρύττει ὁ μελοποιός. ἐπειδὴ δὲ οὐ χρὴ ἀποφαίνεσθαι, ἀλλ' ἀποδιδόναι μαρτυρίας, Ἰώσηππον παραγάγωμεν ἐν ταῖς ἀρχαιολογίαις γράφοντα. ἦν δέ τι χωρίον ἀπὸ δύο σχοινίων Ἱεροσολύμων, ὃ καλεῖται μὲν Ἠτάμ, παραδείσοις τε καὶ ναμάτων ἐπιρροαῖς ἐπιτερπέστατον, καὶ πλούσιον, ἐν ᾧ ὁ Σολομὼν συνεχῶς ἐξῄει, γυμνασθησόμενος καὶ θηράσων. τοῦ μὲν εἶναι χῶρον τοιοῦτον, καὶ Ἰώσηππον, καὶ τὸν μελῳδὸν τὸν θαυμάσαντα ὅτι ἐξηράνθη, παρέχομαι μάρτυρας. οὐ γὰρ ἂν ἐν θαύμασι τὸ ἐξηράνθαι αὐτὸν κατηρίθμει, εἰ μὴ λίαν εὔυδρος ἦν. τοῦ δὲ ἐξηράνθαι, αὐτὸν τὸν μελῳδόν. ὥσπερ γὰρ χρείαν τινὰ ἀνελίττων, καὶ διὰ τῆς ὁρωμένης κτίσεως χωρῶν τῷ λόγῳ, καὶ εἰς τοῦτον τὸν χῶρον ἔφθασεν Ἑβραίοις. ἐκεῖσε γὰρ ἐμελῴδει ἀφ' ὧν ᾔδεσαν, τὴν ἄηττητον τοῦ θεοῦ δύναμιν ἑρμηνεύων. — χορεία.

Θεοφίλῳ. ξζ.

Ὅτι μὲν τὸ ἀμύνασθαι ἄδικον οὐκ ἔστι, συνθήσομαι, ὅτι δὲ οὐδὲ φιλόσοφον, συνθέσθαι δίκαιος ἂν εἴης. πλὴν ἀλλ' εἰ μὲν ῥᾳδίως ἐγίνετο, καὶ ἄνευ πολλῆς περιπετείας, λόγον εἶχέ σου ὁ λόγος. εἰ δὲ πρὸ τοῦ μέλλοντος διδόναι δίκας ὁ ἀπαιτῶν ἑαυτὸν μυρίαις περιπείρῃ συμφοραῖς, ἄμεινον, τὸ μὴ μετὰ τὸ ἠδικῆσθαι, καὶ ἄλλων κακῶν πειραθῆναι. εἰ δ' αἴνιγμά σοι εἶναι δοκεῖ τὸ ῥηθὲν, σαφὲς αὐτὸ ποιῆσαι πειράσομαι. σκόπει γάρ, εἰ θελήσειέ τις ἀμύνασθαι, πόσα ὑπομένει δεινά. πρῶτον πληροῦται θυμοῦ, δεύτερον διακόπτεται ὑπὸ ὀργῆς. πρῶτον γὰρ ἀναθυμιᾶται τὸ πάθος. εἶτα ὀργᾷ, καὶ

accommodus. Quoniam igitur diuina voluntas irriguum hunc locum ac nemorosum atque ad venationem perquàm appositum ob exuberantem incolarum improbitatem exarefecit, idcirco hoc quoque vnà cum aliis miraculis vates prædicat. Quoniam autem pronunciare atque asseuerare non oportet, verùm testimonia ferre, Iosephum in medium producamus, in antiquitatum libro his verbis vtentem: Erat autem locus quidam duobus passuum millibus ab vrbe Hierosolymitana dissitus, qui Ethan vocabatur, pratis & hortis, ac laticibus perquàm amœnus & copiosus, ad quem Salomon, exercitationis ac venationis causa, subinde commeabat. En quòd hic locus eiusmodi esset, & Iosephũ, & Psalmistam, qui eum exaruisse miratus est, testes profero. Neque enim hanc exsiccationem inter miracula recensuisset, nisi aquis admodum irriguus extitisset: Quòd autem exsiccatus fuerit, ipsum Psalmistam testem adhibeo. Siquidem velut orbem quendam & choream versans, ac per res creatas atque in oculorum sensum cadentes, sermone progrediens, ad hunc quoque locum peruenit, Hebræis (illic enim Psalmos condebat) ab iis rebus, quas cognitas & perspectas habebant, inuictam Dei potentiam exponens.

*Theophilo. 67.*

Quòd acceptam iniuriam vlcisci minimè iniustum sit, assentiar. Quòd autem ne philosophicum quidem sit, concedi abs te æquum fuerit. Quanquam si id facilè ac sine multis molestiis fieri posset, sermo tuus ratione aliqua niteretur. Cùm autem ante eum qui pœnas daturus est, is qui eas exposcit, sexcentis seipsum calamitatibus cõuulneret, satius fuerit minimè committere, vt cum eo quòd læsus ipse sis, alia quoque mala experiaris. Quòd si obscurum tibi videtur quod dictum est, id perspicuum reddere conabor. Considera enim, si quis illatam sibi iniuriam vlcisci velit, quotnam acerbitates perferat. Primùm furore perfunditur. Deinde ab ira interrumpitur.